καὶ πολὺν χρυσὸν κτήσασθε ἐν αὐτῇ.
29 εὐφρανθείη ἡ ψυχὴ ὑμῶν ἐν τῷ ἐλέει αὐτοῦ,
καὶ μὴ αἰσχυνθείητε ἐν αἰνέσει αὐτοῦ.
30 ἐργάζεσθε τὸ ἔργον ὑμῶν πρὸ καιροῦ,
καὶ δώσει τὸν μισθὸν ὑμῶν ἐν καιρῷ αὐτοῦ.

$29^2$ αιν.] pr. τη $S^{c\dagger}$
Subscr. σοφια ιησου υιου σειραχ BSA

## ΨΑΛΜΟΙ ΣΟΛΟΜΩΝΤΟΣ

1
### Α΄

1 Ἐβόησα πρὸς κύριον ἐν τῷ θλίβεσθαί με εἰς τέλος,
πρὸς τὸν θεὸν ἐν τῷ ἐπιθέσθαι ἁμαρτωλούς·
2 ἐξάπινα ἠκούσθη κραυγὴ πολέμου ἐνώπιόν μου·
⟨εἶπα⟩ Ἐπακούσεταί μου, ὅτι ἐπλήσθην δικαιοσύνης.
3 ἐλογισάμην ἐν καρδίᾳ μου ὅτι ἐπλήσθην δικαιοσύνης
ἐν τῷ εὐθηνῆσαί με καὶ πολλὴν γενέσθαι ἐν τέκνοις.
4 ὁ πλοῦτος αὐτῶν διεδόθη εἰς πᾶσαν τὴν γῆν
καὶ ἡ δόξα αὐτῶν ἕως ἐσχάτου τῆς γῆς.
5 ὑψώθησαν ἕως τῶν ἄστρων,
εἶπαν Οὐ μὴ πέσωσιν·
6 καὶ ἐξύβρισαν ἐν τοῖς ἀγαθοῖς αὐτῶν
καὶ οὐκ ἤνεγκαν.
7 αἱ ἁμαρτίαι αὐτῶν ἐν ἀποκρύφοις,
καὶ ἐγὼ οὐκ ᾔδειν·
8 αἱ ἀνομίαι αὐτῶν ὑπὲρ τὰ πρὸ αὐτῶν ἔθνη,
ἐβεβήλωσαν τὰ ἅγια κυρίου ἐν βεβηλώσει.

Ps. Sal. ab antiquis Ueteris Testamenti codicibus absunt, in quibusdam tantum librorum sapientialium codicibus inde ab x./xi. saec. scriptis adsunt (in catalogo librorum Ueteris et Noui Testamenti codici A praefixo ψαλμοι σολομωντος ιη΄ totis bibliis finitis appendicis instar adduntur, textus ipse non adest). quam ob rem non codicibus usus sum, sed textum ex optima editione Oscari de Gebhardt („Gebh."; Texte u. Untersuch. hsg. von Gebhardt u. Harnack XIII 2, Lpz. 1895) recepi conferens editionem Swetii codice 253 nixam („Sw."; in appendice tomi ultimi, ed. I 1894, ed. II 1899). quae uncinis ⟨ ⟩ inclusi, a Gebh. ex coniectura suppleta sunt, partim aliis antecedentibus.

De inscr. cf. Gebh. p. 47—49 nec non supra Sap. inscr.